**Τετάρτη 15 Αὐγούστου 2012. Μνήμη τῆς Κοιμήσεως τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.**

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, εἰς τό· *Κύριε ἐκέκραξα*…ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' προσόμοια τῆς ἑορτῆς· *Ποίοις οἱ εὐτελεῖς χείλεσι… Τίνα τὰ φοβερὰ ᾄσματα…Ποῖα πνευματικὰ ᾄσματα…*δευτεροῦντες τὸ α'. Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς Θεοτόκου· *Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα…*Τό· *Φῶς ἱλαρόν…*τὸ Προκείμενον τῆς ἡμέρας μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον ψάλλομεν τὰ προσόμοια τῆς ἑορτῆς· *Δῆμος τῶν Μαθητῶν…Νύμφη ἡ τοῦ Θεοῦ…Ἤθροισται ὁ χορὸς…*Δόξα, Καὶ νῦν· *Δέσποινα ἀγαθὴ...*Τό· *Νῦν Ἀπολύεις…*Τὸ τρισάγιον καὶ τὸ ἀπολυτίκιον· *Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας…*ἅπαξ. Ἀπόλυσις.

### Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, κανόνα καὶ οἴκους τῆς Θεοτόκου οὐ λέγομεν. Εἰς δὲ τὸ τρισάγιον, τὸ κοντάκιον τῆς ἑορτῆς· *Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον…*

### Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, στιχολογοῦμεν τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τό· *Μακάριος ἀνήρ…*ὅλον. Εἰς δὲ τό· *Κύριε ἐκέκραξα…*ἱστῶμεν στίχους η' καὶ ψάλλομεν τὰ γ' προσόμοια τῆς Θεοτόκου· *Ὢ τοῦ παραδόξου θαύματος!…Βαβαὶ τῶν σῶν μυστηρίων Ἁγνή!…Τὴν σὴν δοξάζουσιν κοίμησιν…*ποιοῦντες αὐτὰ η'. Δόξα…Καὶ νῦν…,τὸ δίχορον ὀκτάηχον ἰδιόμελον· *Θεαρχίῳ νεύματι…*Εἴσοδος. Τό· *Φῶς ἱλαρόν…*τὸ προκείμενον τῆς ἡμέρας· *Τὸ ἔλεός σου, Κύριε…*μετὰ τῶν στίχων αὐτοῦ. Εὐθὺς τὰ γ' ἀναγνώσματα τῆς ἑορτῆς· **α'.** *Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος…*(Γενέ-

σεως τὸ Ἀνάγνωσμα. Κεφ. κη' 10), **β'.** *Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης…*(Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα. Κεφ. μγ' 27, μδ' 1), **γ'.** *Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον…*(Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ. θ' 1). Εἰς τὴν λιτήν, τὰ δ' στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς· *Ἔπρεπε τοῖς αὐτόπταις τοῦ Λόγου…Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα…Ἡ πανάμωμος νύμφη…Δεῦτε ἅπαντα τὰ πέρατα τῆς γῆς…*Δόξα…τὸ ἰδιόμελον· *Δεῦτε φιλεόρτων τὸ σύστημα…*Καὶ νῦν…τὸ ἰδιόμελον· *Ἄσατε λαοί,…*Εἰς τὸν στίχον, τὰ γ' στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς· *Δεῦτε ἀνυμνήσωμεν λαοί…Τὴν πάνσεπτόν σου Κοίμησιν…Δαυϊτικὴν ᾠδὴν σήμερον λαοὶ…* Δόξα, Καὶ νῦν…τὸ ἰδιόμελον· *Ὅτε ἐξεδήμησας Θεοτόκε Παρθένε…*Τό· *Νῦν ἀπολύεις…*καὶ τὸ τρισάγιον. Ἀπολυτικὸν, τῆς ἑορτῆς· *Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας…εκ γ'.* Ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ ἀνάγνωσις ἀπὸ τῶν ἐγκωμίων τῆς ἑορτῆς.

**Μὴ τελουμένης ἀγρυπνίας,** εἰς τὸν μέγαν ἑσπερινόν, ἱστῶμεν στίχους ϛ' καὶ ψάλλομεν τὰ γ' προσομοία τῆς ἑορτῆς δευτεροῦντες αὐτὰ. Ἀπολυτικὸν, τῆς ἑορτῆς· *Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας…εκ γ'.* Τῷ δὲ πρωΐ, **τὸ καθ' ἡμέραν μεσονυκτικόν,** ἐν ᾧ εἰς μὲν τὸ β'τρισάγιον λέγομεν τὸ ἀπολυτίκιον τῆς ἑορτῆς χῦμα· *Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας…*καὶ εἰς τὸ γ' τρισάγιον τὸ κοντάκιον τῆς ἑορτῆς· *Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον*...Εἶτα τὰ λοιπὰ τοῦ μεσονυκτικοῦ.

## Ἐν τῷ ὄρθρῳ

Εἰς τὸ· *Θεὸς Κύριος…*τὸ ἀπολυτίκιον, τῆς ἑορτῆς· *Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας…εκ γ'.* Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ'*, Δόξα, καὶ νῦν…Καὶ ἀναγινώσκει τὸ Ι' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος…*Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται τὸ κάθισμα τῆς ἑορτῆς· *Ἀναβόησον Δαυΐδ…* Δόξα…Καὶ νῦν· *τὸ αὐτὸ…*Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα,*

*καὶ νῦν*. Καὶ ἀναγινώσκει τὸ ΙΑ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος…*Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται ψάλλεται τὸ κάθισμα τῆς ἑορτῆς· *Ὁ παντιμος χορὸς…* Δόξα…Καὶ νῦν· *τὸ αὐτὸ…* Μετὰ τὸν *Πολυέλεον,* τὸ κάθισμα τῆς ἑορτῆς· *Ἐν τῇ Γεννήσει σου...* Δόξα…Καὶ νῦν· *τὸ αὐτὸ…*Εὐθὺς οἱ ἀναβαθμοὶ, τὸ *α'* ἀντίφωνον τὸ δ' ἤχου. Προκείμενον· *Μνησθήσομαι τοῦ ὀνόματός σου…*μετὰ τοῦ στίχου αὐτοῦ καὶ ἅπασα ἡ τάξις τοῦ Εὐαγγελίου τοῦ ὄρθρου· *Ἀναστᾶσα Μαριὰμ…*Εἶτα ὁ ν' ψαλμός χῦμα. Δόξα· *Ταῖς τῆς Θεοτόκου…*Καὶ νῦν· *Ταῖς τῆς Θεοτόκου…*Εἰς τὸν στίχον τὸ ἰδιόμελον· *Ὅτε ἡ Μετάστασις…*

**Εἶτα οἱ κανόνες·** ὁ πρώτος, μετὰ τῶν εἱρμῶν, εἰς η' τροπάρια, καὶ ὁ δεύτερος, μετὰ τῶν εἱρμῶν, εἰς ϛ' τροπάρια…εἰς τὰ τροπάρια δὲ λέγομεν τὸν στίχον· *Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς…*εἰς δὲ τὰ δύο τελευταῖα τὸ· *Δόξα…*καὶ τὸ· *Καὶ νῦν…*Καταβασίαι διπλαῖ, ἀμφότερον τῶν κανόνων· *Πεποικιλμένη τῇ θείᾳ δόξῃ…*καὶ· *Ἀνοίξω τὸ στόμα μου…*Ἀπὸ γ' ᾠδῆς χῦμα, ἡ ὑπακοὴ τῆς ἑορτῆς· *Μακαρίζομεν σὲ πᾶσαι αἱ γενεαὶ…*Ἀφ′ ἕκτης τὸ κοντάκιον τῆς ἑορτῆς· *Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον…*καὶ ὁ οἶκος· *Τείχισόν μου τὰς φρένας Σωτήρ μου…*Συναξάριον. **Ἡ τιμιωτέρα οὐ στιχολογείται,** ἀλλὰ ψάλλεται μόνη ἡ θ' ᾠδὴ τοῦ πρώτου κανόνος τῆς ἑορτῆς μετὰ τοῦ μεγαλυναρίου· *Αἱ γενεαὶ πᾶσαι μακαρίζομεν σὲ τὴν μόνην Θεοτόκον,* ὅπερ στιχολογεῖται ἔν τε τῷ εἱρμῷ καὶ ἐν ἑκάστῳ τροπαρίῳ τῆς ᾠδῆς· καὶ εἶτα τὴν θ'ᾠδὴν τοῦ δευτέρου κανόνος, μετὰ τοῦ μεγαλυναρίου· *Ἄγγελοι τὴν κοίμησιν τῆς Παρθένου…*στιχολογουμένου καὶ αὐτοῦ ὁμοίως.

**Ἐξαποστειλάριον**· *Ἀπόστολοι ἐκ περάτων…*ἐκ γ'. Εἰς τοῦ αἴνους, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν γ' προσόμοια τῆς ἑορτῆς· *Τῇ ἐνδόξῳ Κοιμήσει σου…Ἐκ περάτων συνέδραμον…Τὴν ζωὴν ἡ κυήσασα…* δευτεροῦντες τὸ *α'*· Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Τῇ ἀθανάτῳ σου Κοιμήσει…*Δοξολογία μεγάλη…καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἅπαξ· *Ἐν*

*τῇ Γεννήσει, τὴν παραθενίαν ἐφύλαξας*...Ἐκτενής, ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς. Ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Λέγομεν δὲ ἐν ταῖς ὥραις Δόξα, τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Ἐν τὴν Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας*...Καὶ νῦν· τὸ θεοτοκίον τῶν ὡρῶν. Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τῆς ἑορτῆς· *Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον*...

## Εἰς τὴν Λειτουργίαν

Τὰ τυπικά. Καὶ ἐν τοῖς μακαρισμοῖς, ἡ γ' ᾠδὴ τοῦ πρώτου κανόνος, μετὰ τοῦ είρμοῦ, εἰς δ' τροπάρια καὶ ἡ ς' ᾠδὴ τοῦ δευτέρου, μετὰ τοῦ είρμοῦ, εἰς δ' τροπάρια. Εἰσοδικὸν τό· *Δεῦτε προσκυνήσωμεν...ὁ ἐν ἁγίοις θαυμαστός*...Ἀπολυτίκια μετὰ τὴν Εἴσοδον, τῆς ἑορτῆς· *Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας*...Δόξα, Καὶ νῦν...,τὸ κοντάκιον τῆς ἑορτῆς· *Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον*...Τρισάγιον. Προκείμενον, ἀπόστολος, ἀλληλουϊάριον καὶ εὐαγγέλιον τῆς ἑορτῆς. Ἀπόστολος· *Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν ὁ καὶ ἐν Χριστῷ Ἰησοῦ*...(Φιλιπ. β' 5-11), ὁ ζήτει τῇ 15η τοῦ μηνὸς Αὐγούστου. Εὐαγγέλιον· *Εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινὰ*... (Λουκ. ι' 38-42, ια' 27-28), ὁ ζήτει τῇ 15η τοῦ μηνὸς Αὐγούστου. Εἰς τό· *Ἐξαιρέτως*...τό· *Αἱ γενεαὶ πᾶσαι...Νενίκηνται τῆς φύσεως*...Κοινωνικόν· *Ποτήριον σωτηρίου λήψομαι...Εἴδομεν τὸ φῶς...Πληρωθήτω...Εἴη τὸ ὄνομα Κυρίου*...ἐκ γ', Δόξα καὶ νῦν, οἱ δύο ψαλμοί· *Εὐλογήσω τὸν Κύριον...Ὑψώσω σὲ ὁ Θεός μου*...καὶ ἡ ἀπόλυσις.